Ακαδημία Αθηνών / Academy of Athens

**φερέσβιος.** Ζωοφόρος/ζωοδότης, life-bearing/life-giving, 'Εμπεδοκλῆς 6.2 *Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος ἠδ' Ἀιδωνεύς.*

**φέριστος.** Ἄριστος/κράτιστος, best/strongest, Ξενοφάνης 22.4 *πόσα τοι ἔτε' ἐστί, φέριστε;* 'Εμπεδοκλῆς 21.12 *θεοὶ δολιχαίωνες τιμῇσι φέριστοι* 23.8 *θεοὺς δολιχαίωνας τιμῇσι φερίστους* 146.3 *θεοὶ τιμῇσι φέριστοι.*

**φεύγειν.** Προσπαθῶ νὰ ἀποφύγω, try to avoid, Δημόκριτος 203 *ἄνθρωποι τὸν θάνατον φεύγοντες διώκουσιν.*

**φθέγγεσθαι 1.** Φθέγγομαι/ἐκβάλλω φωνή, cry out, Ξενοφάνης 7.5 *φίλου ἀνέρος ἐστὶν ψυχή, τὴν ἔγνων φθεγξαμένης ἀίων* 'Αρχύτας 1.31-32-40-52 *χρήζομές τι μέγα φθέγξασθαι καὶ ὀξύ, σφοδρῷ τῷ πνεύματι φθεγγόμενοι ... ἀλλὰ μὰν καὶ τούτῳ γά κα ἴδοιμες ἰσχυροτάτῳ σαμείῳ, ὅτι τῶ αὐτῶ φθεγξαμένω μέγα μὲν πόρσωθέν κ' ἀκούσαιμες ... αἰ δέ κα ἐς τὸ ἥμισυ ἢ ὁπόστον ⟨ὦν⟩ μέρος αὐτῶ, ὀξὺ φθεγξεῖται* **2.** Λέγω/διηγοῦμαι, tell/narrate, Ξενοφάνης 12.1 *ὡς πλεῖστ(α) ἐφθέγξαντο θεῶν ἀθεμίστια ἔργα* **3.** Ἀπαγγέλω/ἐκφωνῶ, recite/speak loudly, 'Ηράκλειτος 92 *Σίβυλλα δὲ μαινομένῳ στόματι ... ἀγέλαστα καὶ ἀκαλλώπιστα καὶ ἀμύριστα φθεγγομένη.* Πρβλ. *λέγειν, φάσκειν, φατίζειν, φωνεῖν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**φθείρεσθαι.** Φθείρομαι, pass away, 'Εμπεδοκλῆς 17.31 *εἴτε γὰρ ἐφθείροντο διαμπερές, οὐκέτ' ἂν ἦσαν.* Πρβλ. *φθορά, ὄλλυσθαι.*

**Φθιμένη** (ἀντίθ. *Φυσώ*). Φθορὰ (προσωποπ.), Decay (personif.), 'Εμπεδοκλῆς 123.1 *Φυσώ τε Φθιμένη τε.*

**φθίνειν.** Φθίνω/φθείρομαι, decrease/waste away, 'Εμπεδοκλῆς 26.2 *ἐν δὲ μέρει κρατέουσι περιπλομένοιο κύκλοιο, καὶ φθίνει εἰς ἄλληλα καὶ αὔξεται ἐν μέρει αἴσης.* Πρβλ. *φθείρεσθαι, ἀπόλλυσθαι, αὔξεσθαι.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ